**Importanza dell’educazione**

Κάλλος δὲ περιμάχητον μέν, ἀλλ' ὀλιγοχρόνιον.’Υγίεια δὲ τίμιον μέν, ἀλλ' εὐμετάστατον. ‘Ισχὺς δὲ ζηλωτὸν μέν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ. Τὸ δ' ὅλον εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. Πόστον γάρ ἐστιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζῴων δυνάμεως; Λέγω δ' οἷον ἐλεφάντων καὶ ταύρων καὶ λεόντων; Παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. Αἱ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος. Καὶ ὁ μὲν νοῦς ἀρχικός ἐστι τοῦ λόγου, ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ. Τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δ' ἀναφαίρετος, νόσῳ δ' ἀδιάφθορος, γήρᾳ δ' ἀλύμαντος. Μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ. ‘Ο χρόνος τἄλλα πάντ' ἀφαιρῶν τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. Καὶ ὅ γε μὴν πόλεμος χειμάρρου δίκην πάντα σύρων καὶ πάντα παραφέρων, μόνην οὐ δύναται παιδείαν παρελέσθαι.

**Soluzione**

La bellezza è ambita, ma caduca. La salute preziosa, ma fragile. La forza fisica è invidiabile, ma comoda preda della malattia e della vecchiaia. E in generale, se uno va orgoglioso della sua robustezza, si renda conto che l'idea è sbagliata. Che rapporto può mai esserci tra la forza di un uomo e la potenza degli altri animali? Di un elefante, dico, di un toro o di un leone? L'educazione è l'unico nostro bene immortale e divino. Nella natura umana due sono in assoluto gli elementi più importanti: intelletto e parola. L'intelletto è signore della parola e la parola è al servizio dell'intelletto. È inespugnabile dalla sorte, inattaccabile dalla calunnia, indenne dalla malattia, al riparo dai guasti della vecchiaia.Infatti solo l'intelletto invecchiando ringiovanisce. Il tempo, che porta via ogni altra cosa, alla vecchiaia aggiunge invece la saggezza. E la guerra, che come un torrente impetuoso tutto travolge e tutto trascina, solo l'educazione non riesce a predare.